ἀδελφὴν Λαβαν τοῦ Σύρου ἑαυτῷ γυναῖκα. [21]ἐδεῖτο δὲ Ισαακ κυρίου 21
περὶ Ρεβεκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν· ἐπήκουσεν δὲ αὐτοῦ
ὁ θεός, καὶ ἔλαβεν ἐν γαστρὶ Ρεβεκκα ἡ γυνὴ αὐτοῦ. [22]ἐσκίρτων δὲ τὰ 22
παιδία ἐν αὐτῇ· εἶπεν δέ Εἰ οὕτως μοι μέλλει γίνεσθαι, ἵνα τί μοι
τοῦτο; ἐπορεύθη δὲ πυθέσθαι παρὰ κυρίου, [23]καὶ εἶπεν κύριος αὐτῇ 23

Δύο ἔθνη ἐν τῇ γαστρί σού εἰσιν,
καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασταλήσονται·
καὶ λαὸς λαοῦ ὑπερέξει,
καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

[24]καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ τῇδε ἦν δίδυμα 24
ἐν τῇ κοιλίᾳ αὐτῆς. [25]ἐξῆλθεν δὲ ὁ υἱὸς ὁ πρωτότοκος πυρράκης, 25
ὅλος ὡσεὶ δορὰ δασύς· ἐπωνόμασεν δὲ τὸ ὄνομα αὐτοῦ Ησαυ.
[26]καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπει- 26
λημμένη τῆς πτέρνης Ησαυ· καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ιακωβ.
Ισαακ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἔτεκεν αὐτοὺς Ρεβεκκα.

[27]Ηὐξήθησαν δὲ οἱ νεανίσκοι, καὶ ἦν Ησαυ ἄνθρωπος εἰδὼς κυνη- 27
γεῖν ἄγροικος, Ιακωβ δὲ ἦν ἄνθρωπος ἄπλαστος οἰκῶν οἰκίαν. [28]ἠγά- 28
πησεν δὲ Ισαακ τὸν Ησαυ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ· Ρεβεκκα
δὲ ἠγάπα τὸν Ιακωβ. [29]ἥψησεν δὲ Ιακωβ ἕψεμα· ἦλθεν δὲ Ησαυ 29
ἐκ τοῦ πεδίου ἐκλείπων, [30]καὶ εἶπεν Ησαυ τῷ Ιακωβ Γεῦσόν με 30
ἀπὸ τοῦ ἑψέματος τοῦ πυρροῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο
ἐκλήθη τὸ ὄνομα αὐτοῦ Εδωμ. [31]εἶπεν δὲ Ιακωβ τῷ Ησαυ Ἀπόδου 31
μοι σήμερον τὰ πρωτοτόκιά σου ἐμοί. [32]εἶπεν δὲ Ησαυ Ἰδοὺ ἐγὼ 32
πορεύομαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια; [33]καὶ 33
εἶπεν αὐτῷ Ιακωβ Ὄμοσόν μοι σήμερον. καὶ ὤμοσεν αὐτῷ· ἀπέ-
δοτο δὲ Ησαυ τὰ πρωτοτόκια τῷ Ιακωβ. [34]Ιακωβ δὲ ἔδωκεν τῷ 34
Ησαυ ἄρτον καὶ ἕψεμα φακοῦ, καὶ ἔφαγεν καὶ ἔπιεν καὶ ἀναστὰς
ᾤχετο· καὶ ἐφαύλισεν Ησαυ τὰ πρωτοτόκια.

[1]Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, 26
ὃς ἐγένετο ἐν τῷ χρόνῳ τῷ Αβρααμ· ἐπορεύθη δὲ Ισαακ πρὸς
Αβιμελεχ βασιλέα Φυλιστιιμ εἰς Γεραρα. [2]ὤφθη δὲ αὐτῷ κύριος 2
καὶ εἶπεν Μὴ καταβῇς εἰς Αἴγυπτον· κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ
ἄν σοι εἴπω. [3]καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ 3
καὶ εὐλογήσω σε· σοὶ γὰρ καὶ τῷ σπέρματί σου δώσω πᾶσαν τὴν
γῆν ταύτην καὶ στήσω τὸν ὅρκον μου, ὃν ὤμοσα Αβρααμ τῷ
πατρί σου. [4]καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ 4
οὐρανοῦ καὶ δώσω τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ
ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς,
[5]ἀνθ᾽ ὧν ὑπήκουσεν Αβρααμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς καὶ 5
ἐφύλαξεν τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τὰ

24 κοιλια 911] γαστρι A: cf. 38 27 || 30 εκλειπω] + εγω A†
26 1 εγενετο 2°] -νηθη A† | τω 2° 911] του A